eul_wid: lea-ab

*Ὀρφικὰ ποιήματα* · Orphic Poems

# Astrological Fragment

## *Ἀστρολογικὸν Ἀπόσπασμα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἐπική* Epic (Homeric)
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Ἔμμετρος* Verse

book 158 Δύο τροπικὰ ζῴδιά εἰσιν Αἰγόκερως καὶ Καρκίνος. — Τῶν τροπικῶν ζῳδίων ὡροσκοπούντων μὴ ἅψῃ ὁδοῦ· χαλεπὴ γὰρ καὶ βραδεῖα καὶ οὐ μετὰ καλοῦ· ἐν τροπικοῖς μὴ ἀναχώρησον ἀπὸ ἀνδρός, ὦ γύναι· οἱ φίλοι ἔχθραν ποιήσουσιν καὶ πάλιν φίλοι γίνονται τὴν ἔχθραν ἀποβάλοντες, ἡ δὲ τροφὸς ἐν τροπικοῖς

book 159 γάλα δώσει ἀρχήν· οὐ μόνον θρέψει τὸ παιδίον, ἀλλὰ καὶ ἄλλον· ἐν τροπικοῖς σπείρειν χρὴ σπέρματα, φυτὰ δὲ φυτεύειν ἐν στερεοῖς, ἐπειδὴ τὰ μὲν σπέρματα θερίσαι ἀνάγκη, τὰ δὲ φυτευόμενα θέλομεν· μηδὲ οἴκου θεμέλιον ἐν τροπικοῖς βαλεῖν, μηδὲ γῆν πωλῆσαι, ἐπεὶ τὰ κτίσματα οὐ μένει ἢ ἄλλως οὐ πληρώσῃ τὸ ἔργον, ἐν τροπικοῖς ἀρραβῶνας δοῦναι καλόν· ναῦται δὲ καὶ ἔμποροι καὶ ὅσοι περὶ ζῷα πραγματεύονται, ἐν τροπικοῖς οἱ ἀγοράζοντες ταχὺ πιπράσκουσιν ** ἀλλὰ δι' ἑβδομάδα λύεται τὸ πάθος, ἐὰν δὲ τῇ ὀγδόῃ τῆς κατακλίσεως μετέλθῃ ἀπὸ τῶν τροπικῶν εἰς τὰ στερεὰ θάνατον ἐπάγει· ἐν τροπικοῖς οὐ δεῖ ἐξελθεῖν 〈ἢ〉 ἐπιστρατεύεσθαι· ἐκκόπτεται γὰρ ἡ ὁρμή· ἐν τροπικοῖς 〈εἰ〉 φύγῃ τις, εἰσελεύσεται, ἕως μένει εἰς αὐτὸ τὸ ζῴδιον ἡ Σελήνη, ταχεῖα ἡ εὕρεσις, εἰ δὲ παρέλθῃ τῶν τροπικῶν, μετ' ἄλλον εὑρίσκεται· ἐάν τις ἐν τροπικοῖς κατηγορήσῃ τινὸς εἰς δίκην, ταχὺ λύεται τὸ ἔγκλημα, εἰ δὲ ἐν τρο-

book 159 πικοῖς δικάζειν τότε ἄρξεται, οὐ μένει ὁ αὐτὸς δικασθείς, ἀλλ' ἐπ' ἀλλήλους μετέρχονται ἢ εἰς ἄλλους οἱ δικαζόμενοι· ἐν τροπικοῖς ἀποδημίας ἄρχεσθαι δεῖ, ταχὺ γὰρ ἀναστρέφῃ· ἐν τροπικοῖς γὰρ φιλίαν μηνύειν· ἐν τροπικοῖς ἐάν τις ὑποσχέσῃ, οὐ πληροῦται ἢ ὁ δοὺς τὴν ὑπόσχεσιν λαμβάνει αὐτήν· ἐν τροπικοῖς οἱ λεγόμενοι λόγοι καὶ οἱ φαινόμενοι ὄνειροι ψευδεῖς· ἐν τροπικοῖς οὐδὲ ῥήτωρ ἀγῶνος ἅπτεσθαι ὀφείλει, οὐδὲ ναῦται πλεῖν, οὐδὲ φυγάδες γίνεσθαι, ὅτι ἀτέλεστά εἰσιν· εἰ δὲ ἐν τροπικοῖς ἀπὸ καταδίκης ἐξορίζεται 〈τισ〉 τῆς πατρίδος, πάλιν ἔρχεται· βέβαιον δὲ πρᾶγμα ἐν τροπικοῖς μὴ κατάρχου.

book 159 Δίσωμα δὲ δ'· Δίδυμοι, Παρθένος, Τοξότης, Ἰχθῦς. Τῶν δισώμων ζῳδίων ὡρ(οσκοπούντων) μήποτε ἀγοράζειν· δόλον γὰρ ἔχει ἡ πρᾶσις ἢ νόσος 〈ἢ〉 ἑτέρα πρόσκειται, αἱ δὲ γενόμεναι ὁμιλίαι ἄλλα τινὰ κεκρυμμένα ἔχουσιν· ἄλλον γὰρ ἔχουσι καὶ ἄλλον βούλονται· ἐν δισώμοις οἱ γενόμενοι γάμοι εἰς μοιχείαν τρέπονται καὶ πολλαὶ

book 160 μάχαι καὶ ὀδύναι γίνονται εἰς τοὺς τοιούτους γάμους, καὶ τὰς φιλίας τῶν γυναικῶν κωλύουσι τὰ δίσωμα· εἰ δέ τις ἐν δισώμοις εἰς ἔγκλημα πέσῃ, ταχὺ ἐκφεύξεται, ὁμοίως δὲ κἂν δεθῇ τις ἐν δισώμοις, ταχὺ τοὺς δεσμοὺς ἐκφεύξεται, εἰ δέ τις λυθῇ ἀπὸ δεσμῶν ἐν δισώμοις, πάλιν

δεθήσεται· εἰ δέ τις φύγῃ ἐν δισώμοις 〈καὶ〉 κρατηθῇ, πάλιν φυγὰς γίνεται· ἐν δισώμοις μισθὸν ἐὰν ὑποσχεθῇ τις, οὐ δώσει ὅσον εἶπεν· ἐν δισώμοις αἱ χάριτες καὶ δωρεαὶ καλαί εἰσιν· καὶ φυτεύειν χρὴ ἐν δισώμοις καὶ ὑποτιθέναι ᾠὰ ὄρνεσιν, ἐὰν δὲ παράκλισις γίνηται ἐν δισώμοις, πάλιν πυρετὸν φέρει καὶ

book 160 ὑποστρέφει νόσημα· ἐὰν ἐν δισώμοις καλόν τι καὶ ἀγαθόν συμβῇ, διπλασιάζεται· καλὸν δὲ καὶ ὁδοῦ κατάρχεσθαι ἐν δισώμοις· προκόπτουσι γάρ, οἳ μισθὸν τριπλάσιον λαμβάνουσι, εἰ δέ τις ἐν δισώμοις ἀποθάνῃ, ἄλλος εἷς ἐκ τοῦ οἴκου ἐκείνου ἀποθανεῖν μέλλει, ἐὰν νοσήσῃ τις ἐν δισώμοις, νοσήσουσι καὶ ἄλλοι ἐν 〈τῷ〉 αὐτῷ οἴκῳ· νίκη ἐν δισώμοις καλή, ἧττα δὲ κακὴ διπλασιάζεται· παιδευταῖς καὶ ἰατροῖς μανθάνειν καλὸν 〈εἰσ〉 τὰ δίσωμα. [para]Στερεὰ δὲ δʹ· Ταῦρος, Λέων, Σκορπίος Ὑδροχόος. — 〈Τῶν〉 στερεῶν ζῳδίων ὡρ(οσκοπούντων) αἱ κτήσεις καὶ ἀγορασίαι βέβαιαι· ἐν στερέῳ δεῖ γυναῖκα λαμβάνειν καὶ

book 160 πράγματα αὐτῆς· ἐν στερεοῖς τέχνας καὶ ἔργον ἀποθέσθαι δεῖ. πληροῦνται γὰρ αἱ βουλαί· ἐν στερεοῖς χωρισμὸς γυναικῶν τις· φυγάδες οὐκ ὑποστρέφουσιν, οὐδὲ ὁ κλέπτης εὐκαίρως εὑρίσκεται, ἀποδημεῖν δὲ βέβαιόν ἐστιν· ἐν στερεοῖς ἐχθρὸς γενόμενος οὐ ταχὺ φιλιοῦται· ἐν στερεοῖς κρίσις βεβαία ἐστὶν καὶ οἱ δίκαιοι οὐκ ἀθετοῦνται· νόσος ἐν στερεοῖς κακή· ἢ γὰρ θάνατον φέρει ἢ μῆκος νόσου, ἐὰν μὴ εἴσω ἑβδομάδος παύσηται· δεσμοὶ ἐν στερεῷ κακοί, ὁ γὰρ ὀργισθεὶς οὐ μεταβάλλεται· ἐάν τις αἰτήσῃ χρήματα παρασχεῖν ἐν στερεοῖς, οὐ δίδωσιν· ἀγαθῶν λόγων καὶ μουσικῆς ἐν στερεοῖς ἄρξασθαι· ἐν στερεοῖς καλὸν συμβόλαια γράφειν· γράμματα γὰρ καλά· ἐν στερεοῖς εἰ τις

book 161 στρατεύεται, πάντα μένει ἐν τῇ αὐτοῦ στρατείᾳ καὶ οὐ μεταστρατεύεται· πανηγύρεων καὶ χορῶν ἄρξασθαι ἐν στερεοῖς καὶ πάντων τῶν καλῶν ὥσπερ ἐν τροπικοῖς πάντων τῶν κακῶν· ἐν μὲν τοῖς στερεοῖς ἀσάλευτα μένει τὰ γενόμενα, μεταβάλλει δὲ ἐν τροπικοῖς, πολύμορφα γάρ ἐστιν ἐν δισώμοις· ὡσαύτως δὲ καὶ τὴν Σελήνην ἔχοντα· τὰ προειρημένα ζῴδια ταῦτα δηλοῖ ἅπερ ὡροσκοποῦντα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org